# ΠΡΟΟΙΜΙΟΝ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ.

## Εἰς ἅπασαν τὴν Λογικὴν Πραγματείαν.

Οὐ μόνον καλῶς, ἀλλὰ καὶ λίαν ὀρθῶς τοῖς ἐρωτῶσιν, ὁ πάλαι Σωκράτης περὶ δυνάμεως ἀπεκρίνατο λόγου, εἰπὼν οὑτωσί. ἐν μὲν πολέμῳ πρὸς ἀσφάλειαν σίδηρος χρυσοῦ κρείττων, ἐν δὲ τῷ ζῆν εὐδαιμόνως λόγος πλούτου. καί τοι καλὸς μὲν ὁ χρυσὸς τῇ ὄψει, ἀλλ᾽ ἐν καιρῷ καταδρομῆς οὐχ ἧττον τῶν πολεμίων, ἢ τῶν κυρίων λέγεται. σίδηρος δὲ τῇ στερρότητι πρὸς πάντα ἀντέχων, ὑπὲρ πάντων προτείνεται, καὶ φύλαξ ἀεὶ τοῦ χρυσίου καθίσταται. ταύτῃ τοι καὶ λόγος πλούτου παραπολὺ διενήνοχε. πολλάκις γὰρ πλούσιος περὶ λόγους ἀγύμναστος, ἐρήμην ἑάλω, καὶ στερηθεὶς τοῦ πλούτου, τηνάλλως ἐφάνη τούτῳ τεθαῤῥηκώς. λόγος δὲ τεχνικὸς ἀπὸ διανοίας ἠσκημένης προεληλυθὼς τομώτερος ἐφάνη μαχαίρας, καὶ ὀξύτερος ἀκωκῆς, ἐχθροὺς μὲν ἀνιάσας, φίλους δὲ τέρψας, καὶ τὸν λέγοντα δὴ οὐ μόνον παρά γε φίλους, ἀλλὰ κἂν τοῖς ἐχθροῖς οὐ τοῦ τυχόντος ἀξιώσας ἐπαίνου. οἶδε γὰρ καὶ πολέμιος θαυμάζειν ἀνδρὸς ἀρετήν. τοίνυν ἐπεὶ καὶ ὑμεῖς ὦ Φοιτηταί, εὐδαιμόνως ζῆν ἐγνωκότες, καὶ τὸν λόγον παραπολὺ τοῦ πλούτου προκρίναντες, καὶ δὴ ἱκανῶς γυμνασθέντες περὶ κυκλοπαίδειαν (ὅση περὶ τοὺς κανονισμοὺς τῶν μερῶν τοῦ λόγου, καὶ σύνθεσιν τῶν κατ᾽ εἶδος ῥημάτων στρέφεται) καὶ πράξει ἐνδελεχεῖ τῇ κατ᾽ αὐτὴν ἐθισθέντες, λόγων καταβολὰς ὑμῖν αὐτοῖς ἐνεθήκατε. Διὸ καιρὸς ἤδη ἐφ᾽ ἑτέραν δέδοκται μεταβῆναι παιδείαν, ἥτις τάς τε καταβολὰς ἐς φῶς προάξει, καὶ τὸν λόγον ὡς μάχαιραν ἐν βαφῇ ἐμμεθόδως στομώσει, ἵν᾽ ὅπως ἐγκρατεῖς λόγων μεθοδικῶν γενόμενοι, διά τε θεωρίας καὶ δυνάμεως λογικῆς, προσφυῶς συλλογίζησθε περὶ ἑκάστου, καὶ πρὸς τοὺς ἀντιλέγοντας τῇ ἀληθείᾳ ἐπιστημόνως ἀντιλέγητε. καὶ δὴ πρὸ τῶν ἄλλων ἐπιστημῶν Φιλοσοφίαν ὑμᾶς ἐπιποθοῦντας ὁρῶν, καὶ τῶν



Ε. Π... Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ταύτης ἐργίων προθυμότατα γλιχομένους, οὐχ ἧττον ἐπαινῶ τὸ πρόθυμον, ἢ μακαρίζω τὸ φιλομαθές. Θεὸς ἄντικρυς τοῦτο ὑμῖν ἀποκαλύψας, καὶ ἐπὶ τοῦτο προβλέψας, ἐν τοιούτοις καιροῖς δηλαδὴ, ἐν οἷς οὐ μόνον Σοφία ἐξ αὐλῶν ἐλήλαται, ἀλλὰ καὶ οἱ ὁπωσοῦν ταύτης ἐχόμενοι, μυρίοις δεινοῖς ὁσημέραι παλαίουσι· νέοις ὑμῖν ἤδη οὖσιν, τρυφὴ μὲν καὶ ἡ ἄλλη ἀπαλὴ ἅπασα περιφρονεῖται, Φιλοσοφία δὲ, καὶ ὁ περὶ αὐτὴν πόνους ἀντιποιοῦνται προθύμως, εἰδόσιν ὅτι ἡ Σοφία ὥσπερ πλάστης ἀγαθῆς, καλὸν τῇ ψυχῇ περιτίθησι σχῆμα, ὡς ἔφη τις τῶν ἐπὶ Φιλοσοφίᾳ δόξαν ἐχόντων. Φιλοσοφία φημὶ, ἥτις μόνη τὸν ἄνθρωπον Θεὸν ἀπεργάσαι δύναμιν εἴληχε. δι᾽ ἧς αἰεὶ τὰς ἀτάκτους ὁρμὰς ἀναστέλλουσι, καὶ τὰς ὀρέξεις ἐν τάξει κοσμοῦσι, τῶν τε ἀλόγων παθῶν εὐλόγως κατακρατοῦσι, καὶ πρὸς εὐζωΐαν τοῦ λοιποῦ ἑαυτοὺς ἐπιρρυθμίζουσι. τοῦ ὄντι γὰρ πράγματος ἐφίεσθε θειοτάτου, καὶ ἐν τῷ μετὰ σώματος βίῳ ἀναγκαιοτάτου, οἷον οὐθ᾽ ἧκεν ἔπρεπε, οὐθ᾽ ἕξει πώποτ᾽ ἐν αὐτοῖς. Ἀλλ᾽ ἐπειδὴ ὥσπερ ἐπὶ παντὸς πράγματος ἐστί τις μέθοδος διά τινων προγυμνασμάτων, καὶ κατορθωμάτων, εἰσάγουσα εὐχερῶς ἐπὶ τοῦτο τοὺς περὶ αὐτὸ πονοῦντας, οὕτω κἀνταῦθα ἐστὶν ἡ Λογικὴ Μέθοδος, εἰσάγουσα τοὺς πρωτοπείρους διὰ τῶν ταύτῃ κατορθουμένων ἐργαίων, εἰς τὰ ἀνάκτορα τῆς Φιλοσοφίας εὐμαρῶς. οὕτως ἀναγκαία, οὕτως ἐπωφελὴς, ὥστε τῷ ἴσῳ μέτρῳ τὴν Φιλοσοφίαν μετρεῖσθαι τοῖς μυουμένοις, καθόσον ἔλαχεν ἕκαστος τούτων εὐμοιρῆσαι τῆς τοιαύτης μεθόδου. ἀμέλει ταύτην ἐπάναγκες πρὸ Φιλοσοφίας ὑμᾶς διδαχθῆναι, καὶ ὅση δύναμις περὶ ταύτην ἀσχοληθῆναι. ἵνα διὰ τῶν ταύτης κανόνων, ὄργανα κατασκευάσαντες, οἷς ἐν Φιλοσοφίᾳ χρώμενοι πρὸς διάγνωσιν ἀληθείας, καὶ ψεύδους, ἐπὶ Φιλοσοφίαν μεταβήσεσθε. Ἡμεῖς δὲ σὺν Θεῷ τὸν θειότατον ἡμῶν Καθηγητὴν προστάτην τοῦ λόγου ποιήσαντες, τῇ τούτου περὶ Λογικῆς Ἑρμηνείᾳ τὰ πλεῖστα χρησάμενοι, ἐξ ὧν τε ἐγγράφως παρελάβομεν, ἐξ ὧν τε καὶ ἀκηκοότες τῇ μνήμῃ συμπεριφέρομεν, ὑμῖν αὐτοῖς ἐν ταῖς κατὰ λογικὴν σπουδαῖς βοηθήσομεν, συντομίᾳ τε χρησάμενοι, καὶ ἀκαιρεότητι δογμάτων ἐν πᾶσιν. ἐξ ὧν ἕπεται ἥτε τῆς μνήμης εὐμάρεια, καὶ ἡ τῆς ἀληθείας ἐπίτευξις. ὧν καὶ ὑμᾶς ἐγκρατεῖς γενέσθαι, οὐ παντάπασιν ἐλπίδος ἀποπεπτώκαμεν.



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## Προσδιορισμὸς τῶν λεχθησομένων, καὶ ζητήματα τῆς ὅλης Λογικῆς Πραγματείας.

Τῶν ζητουμένων περὶ ἑκάστου τῶν ὄντων τὴν πρώτην ἐπέχει τάξιν τὸ εἰδέναι τὸ τί σημαίνει τοὔνομα τοῦ προτεθέντος εἰς ἔρευναν, ἐφεξῆς δὲ ζητητέον, εἰ ἐν τοῖς οὖσιν ὑφέστηκε τὸ δηλούμενον ἀπὸ τοῦ τοιοῦδε ὀνόματος, ἢ τῇ ἐπινοίᾳ διαπλάττεται μόνῃ, ὡς τραγέλαφος, σκινδαψὸς, καὶ τὰ τοιαῦτα. καὶ μετὰ τοῦτο ὁποίας ἂν εἴη φύσεως, καὶ διατί ἐξεταστέον. ἃ δὴ διὰ τῶν τεττάρων ἐκείνων πολυθρυλλήτων ζητημάτων ἐξελέγχεται. ἀμέλει τοι καὶ ἡμῖν τοῖς περὶ Λογικῆς, ἢ Διαλεκτικῆς τὴν πραγματείαν, εἰς ἐξέτασιν προθεμένοις, ἀναγκαῖον πρὸ πάντων ἔδοξε τὴν σημασίαν τοῦ τῆς Λογικῆς ὀνόματος ἀναπτύξαι, προσεχῶς δὲ τὰ τέτταρα ἐκεῖνα ζητῆσαί τε καὶ ἐξετάσαι περὶ αὐτῆς. Τὸ τῆς Λογικῆς τοιγαροῦν ὄνομα, ἀπὸ τοῦ λόγος παραγόμενον, τοιαύτην ἕξιν σημαίνει, ἥτις ἡμᾶς συλλογίζεσθαι μετὰ λόγου διδάσκει, τουτέστι μετὰ συλλογισμοῦ ἐπιστημονικῶς τὰ προβαλλόμενα εἰς ζήτησιν διακρίνειν. ὁμοίως καὶ διαλεκτικὴ ἀπὸ τοῦ διαλέγομαι παραγομένη, τὸ ἀμείβεσθαι, καὶ κατ' ἐρώτησιν καὶ ἀπόκρισιν τοὺς λόγους ποιεῖσθαι δηλοῖ πρὸς τοὺς ἀντιλέγοντας. οἱ Πλατωνικοὶ μέντοι τὸ τοιοῦτον ὄνομα, ἀντὶ τῆς α. Φιλοσοφίας λαμβάνουσιν. ἥτις τῷ Ἀριστοτέλει μετὰ τὰ φυσικὰ προσηγόρευται. οἱ Περιπατητικοὶ δὲ, οὐ πᾶσαν τὴν λογικὴν ἕξιν τῷ τοιούτῳ ὀνόματι προσαγορεύειν φιλοῦσιν, ἀλλὰ μόνον ἐκεῖνο τὸ μέρος (τὴν Τοπικὴν δηλαδὴ), ὃ περὶ παντὸς τοῦ προτεθέντος, πιθανῶς διδάσκει ἀμείβεσθαι, καὶ λόγον πιθανὸν παραδιδόναι. ὅθεν καὶ ἀναπόδεικτος τῷ Φιλοσόφῳ εἴρηται ἐν τοῖς Σοφιστικοῖς Ἐλέγχοις, καὶ πολλάκις τῇ Ῥητορικῇ Τέχνῃ καταριθμεῖται. ἤδη τὴν σημασίαν τοῦ ὀνόματος τῆς λογικῆς ἔχουσι, τὰ τέτταρα ἐκεῖνα ζητεῖν ἔξεστι περὶ αὐτῆς, ὧν ἁπλᾶ μὲν δύο, εἰ ἔστι δηλαδὴ, καὶ τί ἐστι. δύο δὲ σύνθετα, ὅτι ἐστὶ τοιοῦτον, καὶ διότι ἐστί. τοιγαροῦν ἐπὶ τοῦ παρόντος, τὸ εἰ ὅλως ὑφέστηκεν ἡ Λογικὴ Πραγματεία πολυπραγμονεῖν, περιττόν. καί τοι καὶ τοῦτο πολλῆς ἀκαίρου φιλοτιμίας ὑπόθεσις γίνεται. τῶν γὰρ ἕξεων ἑκάστη ταῖς κατ' αὐτὴν ἐνεργείαις τὴν ἰδίαν τεκμαίρεται ὕπαρξιν. ὅτι δὲ εἰσιν οἱ κατὰ λογικὴν ἐνεργοῦντες, ἀναμφισβήτητον. τί δὲ ἐστιν ἡ Λογικὴ, οὐ μόνον τοῖς πάλαι, ἀλλὰ καὶ τοῖς νῦν Φιλοσοφοῦσι διαπεφώνηται. ζητητέον ἄρα πρὸ τῶν ἄλλων τουτί. τοῦτο δὲ τὸ ζητεῖν τί ἐστι, τὸν ὁρισμὸν τοῦ πράγματος ἐστιν ἀπαιτεῖν. ῥητέον οὖν πρότερον περὶ ὁρισμοῦ, ποσαχῶς τε ὁ ὅρος εἴωθεν



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐκλαμβάνεσθαι, καὶ πόθεν τὴν σημασίαν εἴληχε, καὶ τίσι διαφέρει ὁρισμὸς ὅρου. ἀλλὰ πρὸ τούτων τὴν αἰτίαν, δι' ἣν τὰ τέτταρα ταῦτα ζητεῖται, δοκεῖ χρήσιμον εἰπεῖν.

## Σημείωσις περὶ τῶν τεττάρων ζητουμένων.

Εἰκότως ταῦτα ζητεῖται τὰ τέτταρα. τῶν γὰρ πραγμάτων, τὰ μέν ἐστιν ἀνύπαρκτα, ὡς τραγέλαφος, ἱπποκένταυρος, καὶ τὰ λοιπὰ, ὅσα δηλαδὴ ἡ ἡμετέρα διάνοια ἀναπλάττει· τὰ δὲ ὕπαρξιν ἔχει. καὶ τούτων αὖθις τῶν ὕπαρξιν ἐχόντων, τὰ μὲν ἀμφιβαλλομένην ἔχει τὴν ὕπαρξιν, ὡς ἡ ἄναστρος σφαῖρα, ὡς ἀντίποδες, καὶ τὰ παραπλήσια. ταῦτα γὰρ ἀμφιβάλλονται εἴτε εἰσὶ, εἴτε οὔ. τὰ δὲ ἐστιν ὁμολογούμενα, ὥσπερ ἄνθρωπος, ἢ βοῦς. καὶ ἐπὶ μὲν τῶν ὕπαρξιν ἐχόντων, ἀμφιβαλλομένην δὲ, ζητοῦμεν τὸ εἰ ἐστίν. ἄτοπον γὰρ ὄντως καὶ ἀμαθὲς μήπω μαθόντας εἰ ἐν ὑπάρξει τόδε ἐστὶν, ἐρωτᾷν περὶ αὐτοῦ τί ἂν εἴη. ἐπὶ δὲ τῶν ὁμολογουμένην ἐχόντων τὴν ὕπαρξιν, ζητοῦμεν τὸ τί ἐστι. τὸ δὲ τί ἐστιν, ἢ δι' ὀνόματος ἐκφέρεται, ἢ δι' ὁρισμοῦ. δι' ὀνόματος μὲν, ὅταν βλέποντές τι λέγωμεν, τί ἐστι; καὶ ἀκούωμεν ὅτι ἐστὶν ἄνθρωπος, ἢ βοῦς, ἢ ἕτερόν τι. δι' ὁρισμοῦ δὲ, ὅταν λέγωμεν, ζῶον λογικὸν θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικόν. ἐπεὶ δὲ τὰ πράγματα οὐ μόνον κοινωνοῦσι κατὰ τὸ γένος, ἀλλὰ καὶ διαφέρουσι, φέρε εἰπεῖν τῶν ζώων, καθ' ὃ τὰ μὲν εἰσὶ λογικὰ, τὰ δὲ ἄλογα, καὶ διὰ τοῦτο ζητοῦμεν ὁποῖον τί ἐστιν; ἵνα γνῶμεν τὰς διαφορὰς τούτων. καὶ γὰρ αἱ διαφοραὶ τῷ ὅρῳ συνεκφέρονται. Εἰδέναι δὲ δέον ὅτι ἡνίκα τὸ τί ἐστι δι' ὀνόματος ἀποδίδοται, τότε δεῖ ζητεῖν ὁποῖον τί ἐστιν, ἡνίκα δὲ δι' ὅρου, τότε οὐ ζητητέον τὸ, ὁποῖον τί ἐστι, ἀλλὰ τὸ, διατί ἐστίν. ἐπεὶ δὲ πάντα πρός τι τέλος ὁρῶσι, καὶ οὐδὲν μάτην, οὔτε θεὸς, οὔτε φύσις, οὔτε ἡ τέχνη ἐπενόησαν, τούτου χάριν ζητοῦμεν, διατί ἐστιν. οἷον, διατί ἐστι κλίνη; διὰ τὴν τῶν ἀνθρώπων ἀνάπαυσιν. καὶ διατί ἐστιν ἄνθρωπος; διὰ τὸ κοσμῆσθαι τόδε τὸ πᾶν. καὶ γὰρ τὸ πᾶν ἦν ἂν ἀτελὲς τοῦ ἀνθρωπείου μὴ παραχθέντος εἴδους.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

**Τῶν πραγμάτων.**

- Τὰ μὲν οὐκ ἔχει ὕπαρξιν, ὡς τραγέλαφος, σκινδαψός, καὶ τὰ τοιαῦτα.
- Τὰ δὲ ἔχει ὕπαρξιν. ὧν
  - Τὰ μὲν ἀμφιβαλλομένην ἔχει ταύτην. ὡς ἀντίποδες, ἄναστρος σφαῖρα. καὶ ζητοῦμεν τούτοις, τὸ εἰ ἐστί.
  - Τὰ δὲ ὁμολογουμένην. ἐν τούτοις ζητοῦμεν τὸ τί ἐστι.
    - Ἢ δι' ὀνόματος, καὶ ζητοῦμεν ὁποῖον.
    - Ἢ δι' ὁρισμοῦ, καὶ ζητοῦμεν διατί.

**Τὰ ζητούμενα εἰσὶ τέτταρα.**

- Ἁπλᾶ:
  - Εἰ ἐστί.
  - Τί ἐστι.
- Σύνθετα.
  - Ὁποῖόν ἐστι.
  - Διατί τοιοῦτόν ἐστι.

## Περὶ ὁμωνυμίας ὅρου, καὶ περὶ Ὁρισμοῦ δι' οὗ τὸ τί ἐστι τῶν ὄντων θηρώμεθα.

Ὅρος λέγεται μὲν καὶ τὸ ὁροθέσιον, λέγεται δὲ καὶ πᾶσα ἀρχὴ καὶ τέλος ἑκάστου πράγματος, διὰ τὸ κατὰ ταῦτα ὁρίζεσθαι τὸ περιεχόμενον πρᾶγμα. πᾶν γὰρ τὸ περιεχόμενον καὶ πεπερασμένον, ὡρισμένον καλεῖται, καθ' ὃ πεπέρασται. κατὰ τοῦτο δὴ τὸ σημαινόμενον καὶ ὁ Φιλόσοφος ὅρον ἐκάλεσεν, εἰς ὃν ἀναλύεται ἡ πρότασις. οἷον ἐπὶ τῆς προτάσεως, τὶς ἄνθρωπος περιπατεῖ. ὅροι μὲν τῆς προτάσεως ταύτης, τὸ ἄνθρωπος, καὶ τὸ περιπατεῖ, ἀναλύεται δὲ εἰς ταῦτα, ὡς εἰς τελευταῖα πέρατα. ὥσπερ γὰρ ἀρχαὶ ταῦτα τῆς ἐν προτάσει συνθέσεως, οὕτω καὶ τέλη τυγχάνει τῆς ἀναλύσεως. ἔτι τε μὴν ὅρος λέγεται, καὶ στάσις ῥητορική, καὶ κεφάλαιον τῇ στάσει ὁμωνυμοῦν, καὶ δογμάτων περίληψις, καὶ πᾶς λόγος κεφαλαιώ-

δης

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

δης καὶ συντετμημένος, ὅρος καλεῖται. τάττεται δὲ ὅρος καὶ τὸ ὁρίζειν, ἐπὶ ἀσφαλείας καὶ βεβαιότητος. καὶ παρὰ ταῦτα ὅρος λέγεται καὶ ὁ ὁρισμὸς, δι' οὗ τὴν φύσιν ἑκάστου τῶν ὄντων θηρώμεθα. διαφέρει δὲ ὁρισμὸς, ὅρου, ὡς εἶδος γένους. τάττεται γὰρ ὁ ὁρισμὸς ὑπὸ τὸν ὅρον, ὡς τὰ εἴδη ὑπὸ τὸ οἰκεῖον γένος. διὸ καὶ μερικώτερος τοῦ ὅρου τυγχάνει, καθολικωτέρου ὄντος. ἔτι τε μὴν διαφέρει καὶ τοῦ ὀνόματος. καθόσον τὸ μὲν ὄνομα προφέρεται διὰ μιᾶς λέξεως, καὶ σημαίνει πράγματος οὐσίαν σκιωδῶς, ὁ δὲ ὁρισμὸς, φανερῶς τε, καὶ διακεκριμένως, καὶ διὰ πλειόνων λέξεων. ὃν καὶ ἀποδιδόασιν οὕτως. Ὁρισμός ἐστι λόγος σύντομος δηλωτικὸς τῆς φύσεως τοῦ ὁριστοῦ, ἤτοι τοῦ ὑποκειμένου.

## Διάφορα σημαινόμενα τοῦ Ὅρου.

Ὅρος λέγεται καὶ τὸ ὁροθέσιον, καὶ πᾶσα ἀρχὴ καὶ τέλος τοῦ πράγματος. καὶ ὅρος εἰς ὃν ἀναλύεται ἑκάστη πρότασις, καὶ στάσις ῥητορικὴ, καὶ κεφάλαιον τῇ στάσει ὁμωνυμοῦν, καὶ δογμάτων περίληψις. Καὶ πᾶς λόγος κεφαλαιώδης καὶ συντετμημένος ὅρος καλεῖται. λέγεται ὅρος καὶ ἐπὶ ἀσφαλείας καὶ βεβαιότητος, καὶ ὁρισμός. τὸ μὲν οὖν, λόγος, ἐνταῦθα ὡς γένος εἴληπται. τὸ δὲ σύντομος, καὶ τὸ δηλωτικὸς τῆς φύσεως τοῦ ὁριστοῦ, συστατικῶν διαφορῶν ἀποπληροῦσι τόπον.

## Ἀνάπτυξις τοῦ ὁρισμοῦ, καὶ ποσαχῶς λέγεται ὁ Ὁρισμός.

Λόγος τοίνυν εἴρηται ὁ Ὁρισμὸς πρὸς ἀντιδιαστολὴν τοῦ ὀνόματος. ὅτι τὸ μὲν ὄνομα εἰ καὶ ὁπωσοῦν ὑποδηλοῖ φύσιν πράγματος ὡς εἴρηται, ἀλλ' οὖν ἐκ μιᾶς συνέστηκε λέξεως. ὁ δὲ λόγος ἐκ δύο τοὐλάχιστον. σύντομος δὲ διότι τοὺς μακροὺς λόγους, καὶ τοὺς διεξοδικῶς περὶ φύσεως πραγμάτων διαλαμβάνοντας. ἐπειδὴ δὲ εἰσί τινες λόγοι σύντομοι, οἵ τινες ὁρισμοὶ οὐκ εἰσὶ, φύσιν πραγμάτων μὴ δηλοῦντες, οἷά εἰσι τὰ γνωμικὰ ἀποφθέγματα, ὡς τὸ, χρόνος σοφώτερος πάντων, καὶ μηδὲν ἄγαν, καὶ τὰ ὅμοια. διὰ τοῦτο προσετέθη τὸ, δηλωτικὸς τῆς φύσεως τοῦ ὁριστοῦ. δηλοῦν δὲ ἐνδέχεται τὰ πράγματα μάλιστα τριχῶς. ἢ ἐτυμολογία, ἥτις καὶ Ἐτυμολογικὸς ὁρισμὸς καλεῖται. ἢ ὑπογραφῇ, ἥτις ἔσθ' ὅτε καὶ ὑπογραφικὸς ὁρισμὸς λέγεται. (διαφέρει γοῦν ὑπογραφὴ τοῦ ὑπογραφικοῦ ὡς εἰρήσεται κατωτέρω, εἰ καὶ ἐνίοτε ἀνθ' ἑνὸς λαμβάνονται.) ἢ τῷ καλουμένῳ κυρίως

ὁρι-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ
ΙΩΑΝΝΙΝΑ 2006

ὁρισμῷ. ἀλλ' ἡ μὲν ἐτυμολογία τὴν φύσιν μᾶλλον ἀναπτύσσει τοῦ ὀνόματος, ἢ τοῦ διὰ ὀνόματος δηλουμένου πράγματος, οἵα ἐστὶν ἡ Πυθαγόρειος ἐκείνη περὶ Φιλοσοφίας. ὁ γὰρ Πυθαγόρας τὴν Φιλοσοφίαν ὡρίζετο φιλίαν εἶναι τῆς σοφίας, πρῶτος τῷ παρὰ τοῖς παλαιοτέροις ἐπιστὰς ἁμαρτήματι. ἐπειδὴ γὰρ ἐκεῖνοι σοφὸν ὠνόμαζον, τὸν ὁντιναοῦν μετερχόμενον τέχνην, μεθίστησι τὴν προσηγορίαν ταύτην ἐπὶ τὸν Θεὸν, ὡς μόνον ἐκεῖνον καλεῖσθαι σοφὸν κυρίως τὸν τὴν σοφίαν τε, καὶ τὴν γνῶσιν τῶν ἀϊδίων ἔχοντα. τοὺς δὲ περί τι τῶν φυσικῶν ἀσχολουμένους, φιλοσόφους ὠνόμαζεν, οἱονεὶ φιλοῦντας τὸν σοφὸν Θεὸν. καὶ τὴν γνῶσιν τούτων, φιλοσοφίαν ἐκάλει, τουτέστι φιλίαν σοφίας.

Ὑπογραφικὸς δέ ἐστιν ὁρισμὸς, ὁ ἐκ γένους, ἢ τινὸς γένους χώραν ἔχοντος, καὶ ἰδίων οὐσιωδῶν, ἢ καὶ συνδρομῆς διαφόρων συμβεβηκότων τὸ προτεθὲν ὑπογράφων. ὡς εἴ τις φαίη τὸν ἄνθρωπον εἶναι ζῶον δίπουν, ὀρθοπεριπατητικὸν, πλατυώνυχον, χερσὶ χρώμενον. γένος μὲν ὄντος τοῦ ζώου, τῶν δὲ λοιπῶν τῶν ἐν τῇ ὑπογραφῇ συμβεβηκότων ὄντων ἐν ἀνθρώπῳ. Κυρίως δὲ ὁρισμός ἐστιν ὁ ἐκ τῶν ἐνόντων τῷ πράγματι οὐσιωδῶς δηλῶν τοῦτο. ἔστι δὲ διττὸς, ἢ γὰρ φυσικὸς λέγεται, ὡς ἐξ ὕλης καὶ εἴδους συγκείμενος. οἷον, ἄνθρωπος ἐστὶ σῶμα ὀργανικὸν, λογικῇ ψυχῇ εἰδοπεποιημένον. ἢ ἐκ γένους καὶ συστατικῆς διαφορᾶς λαμβάνεται, ὃς καὶ μεταφυσικὸς λέγεται, καὶ λογικός. οἷον, ἄνθρωπος ἐστὶ ζῶον λογικόν. γένους ὄντος τοῦ ζώου, διαφορᾶς δὲ συστατικῆς τοῦ λογικοῦ, ὅστις τοῖς λογικευομένοις θεωρεῖται. Ἔτι λαμβάνονται οἱ ὁρισμοὶ, ἢ ἐξ ὑποκειμένου τοῦ ὁριζομένου, ἢ ἐκ τοῦ τέλους, ἢ καὶ ἐξ ἀμφοῖν. ὑποκείμενον μὲν οὖν ἐστι περὶ ὃ τὸ ὁριστὸν καταγίνεται. τέλος δὲ οὗ στοχάζεται, καὶ ὃ βούλεται κοσμεῖν. ἐκ τοῦ ὑποκειμένου μὲν, ὡδί. ἡ ἰατρική ἐστι τέχνη περὶ τὰ ἀνθρώπινα σώματα καταγινομένη. ὑπόκειται γὰρ ταύτῃ τὰ ἀνθρώπεια σώματα. ἀπὸ δὲ τοῦ τέλους οὕτως. ἰατρική ἐστιν ὑγείας περιποιητική. ἔργον γὰρ ταύτης ἢ παροῦσαν φυλάξαι, ἢ ἀποῦσαν ἀνακαλέσασθαι. ἐξ ἀμφοῖν δὲ, ὡς εἴ τις εἴπῃ. ἰατρική ἐστι τέχνη περὶ τὰ ἀνθρώπεια σώματα, περιποιητικὴ ὑγείας. καὶ περὶ μὲν ὁρισμοῦ, ἅλις ἔστω τό γε νῦν ἔχον. ἢν δὲ διδῷ Θεὸς, ἐν τῷ περὶ ἀποδείξεως εἰρήσεται διεξοδικώτερον. νῦν δὲ κἀκεῖνο δέον μνησθῆναι. ὅτι ἐν τοῖς τοιούτοις ἅπασιν ὁρισμοῖς, τοῖς εἴτε ἐκ τοῦ ὑποκειμένου, εἴτε καὶ ἐκ τοῦ τέλους, εἴτε καὶ ἐξ ἀμφοῖν, τὰ γένεσιν ἀναλογοῦντα, καὶ διαφοραῖς συστατικαῖς, θεωρεῖται ὡς ἐπὶ τοῖς προσεχῶς εἰρημένοις. ἡ τέχνη μὲν ὡς γένος ἐστὶν, ὡς διαφοραὶ δὲ συστατικαὶ τὰ ἐν τῷ ὁρισμῷ ἐπίλοιπα. ἔχουσι δὲ τὴν κλῆσιν οἱ ὁρισμοὶ ἐκ μεταφορᾶς τῶν τῆς γῆς ὁ-

ροθε-

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ροθεσίων. ὡς γὰρ δι' ἐκείνων χωρίζονται τὰ χωρία ἀπ' ἀλλήλων, οὕτω καὶ διὰ τῶν ὁρισμῶν τὰ πράγματα διακρίνεται. καλεῖται δὲ ὁ ὁρισμὸς καὶ ὅρος, τῷ γενικῷ ὀνόματι. διά τε τὸ περιορίζειν καὶ περικλύειν, καὶ οὕτω διαχωρίζειν ἀπ' ἀλλήλων τὰ ὁριστὰ, διὰ τὸ δυσόρατα καὶ δυσσύνοπτα, καὶ σαφῆ ποιεῖν τὰ πράγματα. δηλοῦσι μὲν γὰρ ὡς ἔφημεν ἀνωτέρω καὶ τὰ ὀνόματα φύσιν πραγμάτων, (διὸ καί τινες ὅρους συνεσταλμένους ταῦτα κεκλήκασιν,) ἀλλὰ σκοτεινῶς τε καὶ ἀσαφῶς καὶ ἀδιακρίτως, οἱ δὲ ὅροι καθαρῶς καὶ σαφῶς, καὶ διακεκριμένως, διὰ τὸ χρῆσθαι διαφοραῖς, καὶ ταύταις οὐσιώδεσι, τουτέστι δυναμέναις οὐσίας, καὶ φύσεις πραγμάτων, ἀπ' ἀλλήλων διαχωρίζειν. κἀκεῖνο δέον εἰδέναι, ὅτι καὶ τὸ ἴδιον ἐν τοῖς ὁρισμοῖς τε καὶ ταῖς ὑπογραφαῖς, λόγον ἔχει διαφορᾶς, οὐσιώδους μὲν τὸ καθαρῶς οὐσιῶδες. ὃ καὶ διαφορὰν μονοειδῆ καλοῦσιν, ὡς μὴ κατὰ πλειόνων εἰδῶν λεγόμενον. οἷόν ἐστιν ἐν τῷ ἀνθρώπῳ τὸ, νοῦ, καὶ ἐπιστήμης δεκτικόν. ἐπουσιώδους δὲ διαφορᾶς λόγον ἔχει τὸ λοιπὸν ἴδιον, οἷον ἐν ἀνθρώπῳ τὸ γελαστικὸν, ἐν ἵππῳ τὸ χρεμετιστικὸν, ἐν κυνὶ τὸ ὑλακτικόν. ὅπερ κἂν ἐπουσιῶδες εἴη, πλὴν ἀλλὰ συμβεβηκότος παντὸς προτιμότερον, ὅσῳ καὶ εἶδος ὅλον χαρακτηρίζειν δύναται πλέον, ἢ ἅπαν συμβεβηκός.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ὁ ὁρισμὸς τριχῶς.

- Ὁρισμὸς ἐτυμολογικός, ὃς καὶ ἐτυμολογία.
- Ὁρισμὸς ὑπογραφικός, ὃς καὶ ὑπογραφὴ ἐνίοτε λέγεται.
  - Ἢ ἐκ γένους καὶ συνδρομῆς διαφόρων συμβεβηκότων.
  - Ἢ ἔκ τινος γένους χωρὶς ὑπάρχοντος καὶ συστατικῆς διαφορᾶς.
- Ὁρισμὸς κύριος.
  - Ἢ ἐξ ὕλης καὶ εἴδους, ὃς καὶ φυσικὸς λέγεται.
  - Ἢ ἐκ γένους καὶ συστατικῆς διαφορᾶς, ὃς καὶ λογικὸς καὶ μεταφυσικός.
  - Ἢ ἐκ τοῦ ὑποκειμένου περὶ ὃ τὸ ὁριστόν.
  - Ἢ ἐκ τοῦ τέλους.
  - Ἢ ἐξ ἀμφοῖν.

## Πόθεν τὴν κλῆσιν ἡ Ὑπογραφὴ ἔλαχεν.

Ἰστέον ὅτι ἡ Ὑπογραφὴ τῆς κλήσεως ταύτης ἔτυχε διὰ τὸ ἐοικέναι σκιαγραφίᾳ. τελείᾳ μὲν γραφῇ ὁ ὅρος ἔοικε, διὰ τὸ δηλοῦν ἀκριβῶς αὐτὴν τὴν φύσιν τοῦ πράγματος, ἡ δὲ Ὑπογραφὴ σκιαγραφίαν μιμεῖταί τινα. προχειριζομένη γὰρ τὰ περὶ τὴν φύσιν τοῦ πράγματος, δίδωσιν ἐκ τούτων σκιαγραφικῶς εἰκάζειν τὸ προτεθέν. ὁ δὲ ὑπογραφικὸς ὁρισμὸς οὔτε σκιαγραφίᾳ οὔτε ἐντελογραφίᾳ, ἀλλὰ μεσότητί τινι. τῇ μὲν γὰρ ἐντελογραφίᾳ, ἤτοι τῷ κυρίως ὁρισμῷ προσεγγίζει, κατὰ τὰς ἐνούσας αὐτῷ τελειότητας οὐσιώδεις διαφοράς. τῇ δὲ σκιαγραφίᾳ τουτέστι τῇ Ὑπογραφῇ διὰ τὰς ἐπουσιώδεις, ἐξ ὧν ὁμοῦ πάντων συνέστηκε. διὰ τοῦτο γὰρ καὶ ὑπογραφικὸς ὁρισμὸς λέγεται, ὅτι κατά τι μὲν κοινωνεῖ τῷ ὁρισμῷ, κατά τι δὲ τῇ Ὑπογραφῇ.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## Περὶ χρήσεως τούτων.

Χρώμεθα δὲ τῇ Ὑπογραφῇ, ὅταν οὐκ ἔχει τὸ πρᾶγμα, ἢ γένος ἀνώτερον ἀφ' οὗ ὁρισθείη, ἢ διαφορὰς οὐσιώδεις. τῷ δὲ ὑπογραφικῷ ὁρισμῷ, ὅταν ἔχει μὲν τὸ πρᾶγμα οὐσιώδεις διαφορὰς, οὐ μὴν ἀρκούσας εἰς τὸ ἀνελλιπῶς παραστῆσαι αὐτό. ὡς ἐπὶ τοῦ ὅρου τοῦ ἵππου. λέγομεν γὰρ ἵππος ἐστὶ ζῶον ἄλογον. καὶ τὸ μὲν ἄλογον οὐσιώδης διαφορά ἐστιν. ἀλλ' ἐπειδὴ τῶν ἄλλων ζώων τὸν ἵππον χωρίσαι οὐ δύναται, ἄλογον γὰρ καὶ ὁ κύων, καὶ ὁ βοῦς, προστιθέαμεν καὶ τὸ ἴδιον, ὅπερ ἐστὶ τὸ χρεμετιστικόν. τινὲς δὲ διὰ σαφήνειαν πλείονα, καὶ τὸ τετράπουν, ὅπερ ἐστὶν ἀχώριστον συμβεβηκὸς, οὕτω λέγοντες. ἵππος ἐστὶ ζῶον ἄλογον τετράπουν χρεμετιστικόν. Οὐ πάντοτε δὲ ὁ Ὑπογραφικὸς ὁρισμὸς πᾶσι χρῆται τοῖς οὐσιώδεσι, μεθ' ὧν τοῖς ἐπουσιώδεσιν, ἀλλὰ καὶ μιᾷ μόνῃ ἀρκούμενος οὐσιώδει διαφορᾷ, τὸ λοιπὸν ἐξ ἐπουσιωδῶν συμπληροῖ. διαφορῶν δὲ οὐσιωδῶν οὐσῶν ἀρκουσῶν εἰς τὸν ὁρισμὸν, τὸ παραλαμβάνειν ἐπουσιώδεις, ἀτεχνίας ἐστίν. ὡσαύτως, καὶ τὸ δι' ὑπογραφῆς δεικνύειν, τὸ πεφυκὸς δεικνῦσθαι δι' ὁρισμοῦ. πλὴν εἴ τις πρὸς ἀτελεῖς τὸν λόγον ποιούμενος, οὐ δύναται τὸ πρᾶγμα σαφῶς αὐτοῖς ἐκ τῶν οὐσιωδῶν καὶ μόνων παραστῆσαι διαφορῶν, τότε καὶ διαφορὰς ἐπουσιώδεις, διὰ τοὺς πρὸς οὓς ὁ λόγος, εἰς διασάφησιν πλείονα παραλήψεται.

## Περὶ ἀρετῆς Ὁρισμοῦ.

Ἀρετὴ δὲ Ὁρισμοῦ, τὸ ἀντιστρέφειν πρὸς τὸ ὁριστόν. οἷον ὡς ἐν παραδείγματι, τὸν ἄνθρωπον ὁρίζοντες λέγομεν. ἄνθρωπος ἐστὶ ζῶον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν. καὶ ζῶον μὲν λέγοντες, χωρίζομεν αὐτὸν ἀπό τε τῶν ἀψύχων, καὶ τῶν φυτῶν, καὶ τῶν ζωοφύτων. ἐπεὶ δὲ τὸ ζῶον γένος ἐστὶ τῶν λογικῶν ζώων τε καὶ ἀλόγων, διὰ τοῦτο προστιθέαμεν τὸ λογικὸν, διιστῶντες τὸν ἄνθρωπον τῶν ἀλόγων ζώων. ἐπειδὴ δὲ καὶ οἱ Ἄγγελοι ζῶα λογικὰ λέγονται, πρὸς δὲ τούτοις καὶ τὰ οὐράνια σώματα κατὰ τοὺς Φιλοσόφους, διὰ τοῦτο προστιθέαμεν καὶ τὸ θνητὸν, ἀπὸ τῶν εἰρημένων τὸν ἄνθρωπον διαστέλλοντες. ἀλλὰ καὶ Νύμφας τινὰς Μακραίωνας εἶναι μυθεύονται, ζῶα λογικὰ καὶ μακρόβια, ὅμως μέν τοι θνητὰ, ἐκ φύσεως ἀλλ' οὐκ ἐκ μαθήσεως γινώσκοντα τούς τεχνικούς τε λόγους καὶ τοὺς ἐπιστημονικούς. τούτων οὖν ἀφιστῶντες τὸν ἄνθρωπον προστιθέαμεν τῷ ὅρῳ αὐτοῦ,

καὶ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

καὶ τὸ νοῦ καὶ ἐπιστήμης δεκτικόν. ἔστιν οὖν οὗτος ὁ Ὅρος ἐκ γένους μὲν τοῦ ζώου, ἐκ δὲ συστατικῶν διαφορῶν τοῦτε λογικοῦ, καὶ τοῦ θνητοῦ, καὶ τοῦ νοῦ καὶ ἐπιστήμης δεκτικοῦ, μονοειδοῦς ἰδίου ὄντος ἀνθρώπου. τοῦτο δὲ ἔοικε συστατικῇ διαφορᾷ, διὰ τὸ οὐσιωδῶς προσεῖναι αὐτῷ. τοιαῦτα γάρ εἰσι τὰ οὐσιώδη ἴδια, ἃ καὶ διαφορὰς μονοειδεῖς ὡς ἔφημεν ἀνωτέρω, σύνηθες τοῖς Σχολαστικοῖς κατονομάζειν. ἀντιστρέφει τοίνυν ὁ δηλωθεὶς Ὁρισμὸς πρὸς τὸ ὁριστόν. καὶ γὰρ εἴ τι ἄνθρωπος, τοῦτο ζῶον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν, καὶ εἴ τι ζῶον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν, τοῦτο ἄνθρωπος. ἀρετὴ μὲν οὖν Ὁρισμοῦ ὡς εἴρηται, τὸ ἀντιστρέφειν πρὸς τὸ ὁριστόν. κακία ἄρα τὸ μὴ ἀντιστρέφειν. γίνεται δὲ τὸ μὴ ἀντιστρέφειν, ἢ διὰ προσθήκην λέξεων, ἢ δι᾽ ἀφαίρεσιν. καὶ ἡ μὲν προσθήκη ἔλλειψιν τῶν πραγμάτων ἐργάζεται, ἡ δ᾽ ἀφαίρεσις πλεονασμόν. καὶ οὕτως ἀμφοτέρωθεν κατὰ τοῦ πλεονασμοῦ καὶ τῆς ἐλλείψεως, ἀτελὴς ὁ ὅρος γίνεται. εἰ γὰρ ἐπὶ τοῦ κατὰ τὸν ἄνθρωπον ὁρισμοῦ πλεονάσας τὶς ταῖς λέξεσιν ἐρεῖ. ἄνθρωπος ἐστὶ ζῶον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικὸν γραμματικόν, ἔλλειψιν τῶν πραγμάτων ἐποίησεν. οὐ πάντας γὰρ ἀνθρώπους τῷ ὅρῳ συμπεριέλαβε, ἀλλὰ μόνον τοὺς γραμματικούς. καὶ γὰρ εἴ τι μὲν ζῶον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικὸν γραμματικόν, τοῦτο καὶ ἄνθρωπος. οὐ μὴν δὲ καὶ ἀντιστρέφει. οὐδὲ γὰρ εἴ τι ἄνθρωπος, τοῦτο ζῶον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικὸν γραμματικόν. εἰ δὲ πάλιν ἐλλείψας ταῖς λέξεσιν εἴποι τις, ἄνθρωπος ἐστὶ ζῶον λογικὸν θνητόν, ἐπλεόνασε κατὰ τὸν Ἑλληνικὸν ὕθλον τοῖς πράγμασι, καὶ ἃς φασι Νύμφας μακραίωνας τοῖς ἀνθρώποις συμπεριέλαβε. καὶ εἴ τι μὲν ἄνθρωπος, τοῦτο ζῶον λογικὸν θνητόν, οὐκ εἴ τι δὲ ζῶον λογικὸν θνητόν, τοῦτο καὶ ἄνθρωπος. ζῶα γὰρ λογικὰ θνητὰ καὶ αἱ μακραίωνες Νύμφαι.

Ἰστέον δὲ ὅτι ἐκείνη ἡ προσθήκη τὴν τοῦ Ὅρου κωλύει ἀντιστροφήν, ἡ προστιθεῖσα αὐτῷ ἃ μὴ θεωροῦνται ἐν πᾶσι τοῖς ὁριστοῖς τοῖς ὑπὸ τὸ αὐτὸ εἶδος. οἷον τὸ γραμματικόν, τὸ φιλόσοφον, καὶ τὰ τοιαῦτα. ἅτινα ὄντισι καὶ οὐκ ἐν πᾶσι τοῖς ὑπὸ τὸ ὁριζόμενον εἶδος τυγχάνει. ἐπείπεργε, καὶ τῶν ἰδίων καὶ τῶν ἐν πᾶσι τοῖς ὑπὸ τὸ αὐτὸ εἶδος θεωρουμένων συμβεβηκότων ἡ προσθήκη, τὴν ἀντιστροφὴν οὐ κωλύει, περιττολογίαν δὲ μόνην ἐμποιεῖ, κἀντεῦθεν τὴν συντομίαν τοῦ ὅρου περιαιρεῖ. καὶ γὰρ εἴ τις τῷ τοῦ ἀνθρώπου ὅρῳ τὸ γελαστικὸν προσθήσει, καὶ τὸ ὀρθοπεριπατητικόν, οὐ παραβλάψει τὴν ἀντιστροφήν. εἴ τι γὰρ ζῶον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικὸν γελαστικὸν ὀρθοπεριπατητικόν, τοῦτο ἄνθρωπος. καὶ εἴ τι ἄνθρωπος, τοῦτο ζῶον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικὸν γελαστικὸν ὀρθοπεριπατητικόν. παραλαβό-



Ε.Γ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

νεται γὰρ ὡς ἔφημεν, τὰ ἴδια καὶ τὰ ἀχώριστα συμβεβηκότα εἰς τοὺς ὑπογραφικοὺς ὁρισμούς, δι᾽ ἃ καὶ ὑπογραφικοὶ κέκληνται.

## Περὶ Διαιρέσεως.

Ἐπειδὴ καὶ ἡ Διαίρεσις δοκεῖ τῶν ἀναγκαιοτάτων, φέρε ὡς ἐν βραχεῖ ὀλίγ᾽ ἄττα καὶ περὶ αὐτῆς διαλαβεῖν. ἔστι μὲν οὖν Διαίρεσις διανομὴ τοῦ ἔχοντος μέρη, εἰς αὐτὰ ταῦτα. ταύτης δὲ ἡ μὲν ἔστι καθ᾽ αὑτό, ἡ δὲ κατὰ συμβεβηκός. ἀλλ᾽ ἵνα σαφέστερος ὁ λόγος περὶ διαιρέσεως γένηται, ῥητέον ὡς ἀπ᾽ ἀρχῆς. πᾶν πρᾶγμα ἢ διαιρετόν ἐστιν, ἢ ἀδιαίρετον. καὶ περὶ μὲν ἀδιαιρέτου οὐδεὶς λόγος ἐπὶ τοῦ παρόντος. ἐπὶ δὲ τῶν διαιρουμένων, διχῶς ἡ διαίρεσις θεωρεῖται, ἢ καθ᾽ αὑτό, ἢ κατὰ συμβεβηκός. καὶ περὶ μὲν τῆς κατὰ συμβεβηκὸς διαιρέσεως ἐν τοῖς ἑξῆς. τῆς δὲ καθ᾽ αὑτὸ τρία γένη φαίνεται, ὧν πρῶτον ἐστὶ τὸ τοῦ γένους εἰς εἴδη, δεύτερον τὸ τοῦ ὅλου εἰς μέρη, καὶ τρίτον τὸ τῆς φωνῆς εἰς τὰ διάφορα σημαινόμενα. ἐξ ὧν τὰ μὲν τοῦ γένους εἰς εἴδη, καὶ τοῦ ὅλου εἰς μέρη, ὡς πράγματα διαιρεῖται, τὸ δὲ τῆς φωνῆς εἰς τὰ οἰκεῖα σημαινόμενα, οὐχ ὡς πράγματα, ἀλλ᾽ ὡς φωνὴ κατά τινων λεγομένη, καθ᾽ ὃ καὶ ἀντιδιαστέλλεται τῶν ἀνωτέρω δύο γενῶν. διαιρεῖται τοίνυν τὸ γένος εἰς εἴδη, ὡς ὅταν εἴπωμεν, τοῦ ζώου τὸ μέν ἐστι χερσαῖον, τὸ δὲ ἔνυδρον, τὸ δὲ πτηνόν. ἢ τοῦ φυτοῦ τὰ μὲν ἀειθαλῆ, τὰ δὲ φυλλοβόλα, τὰ δὲ κρυψίφυλλα. τὸ δὲ ὅλον διαιρεῖται, ἢ εἰς μέρη οὐσιώδη, ἢ εἰς μέρη ποσοτικά. τουτέστιν ἢ οὐσιωδῶς, ἢ κατὰ ποσότητα. οὐσιωδῶς μὲν ὡς ὅταν εἴπωμεν, τοῦ ἀνθρώπου τὸ μέν ἐστι σῶμα, τὸ δὲ ψυχή. ἢ τὸ μέν ἐστι ζῷον, τὸ δὲ λογικόν. ἃ καὶ μέρη γίνεται ἐν τῷ ὁριστικῷ αὐτοῦ λόγῳ. κατὰ ποσότητα δὲ διαιρεῖται διχῶς, ἃ καὶ ποσοτικὰ μέρη λέγουσι, ὥσπερ τὰ οὐσιωδῶς διαιρούμενα οὐσιώδη, ἢ εἰς μέρη ὁμοιομερῆ, ἅπερ κοινωνοῦσι τοῦ τε ὀνόματος καὶ τοῦ λόγου, τῷ τε ὅλῳ καὶ ἀλλήλοις. οἷον τοῦ ὕδατος πᾶν μέρος ἐστὶν ὕδωρ, καὶ τῆς σαρκὸς πᾶν μέρος ἐστὶ σάρξ, καὶ τοῦ ἐν ἀμφορεῖ οἴνου διαιρουμένου εἰς κοτύλας, πάντα τὰ μέρη τούτου τὰ ἐν ταῖς κοτύλαις οἶνός ἐστιν. ὧν ἕκαστον τοῦ αὐτοῦ δήπου ὀνόματος τετύχηκεν, καὶ τοῦ ὁρισμοῦ τῷ τε ὅλῳ οἴνῳ καὶ τοῖς μέρεσι τοῖς ἐν ταῖς κοτύλαις. ἢ διαιρεῖται τὸ ὅλον εἰς μέρη ἀνομοιομερῆ, ὡς ἐπὶ τῶν ὀργανικῶν σωμάτων φαίνεται. οἷον τοῦ ἀνθρωπείου σώματος τὸ μέν ἐστι χείρ, τὸ δὲ πούς, τὸ δὲ κεφαλή, καὶ τὰ τοιαῦτα. ὧν ἕκαστον οὔτε τοῦ ὀνόματος, οὔτε τοῦ λόγου μετέχει τῷ σώματι, ἢ ἀλλήλοις. καὶ αὕτη μέν ἐστιν ἡ τῶν πραγμάτων διαίρεσις. ἡ δὲ φωνὴ ὡς εἴρηται διαιρεῖται εἰς διάφορα σημαινόμενα,

ἃς

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘ. ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Ν.Φ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ης τριττὴν διαίρεσιν ἐπὶ τοῦ παρόντος εὔλογον ἐκλαβεῖν. εἰ γὰρ καὶ πλείονα ταύτης τὰ σημαινόμενα, ἀλλ' οὖν ἐνταῦθα ἀποχρήσει τρία ταῦτα διεξελθεῖν. ἢ γὰρ εἰς τὰ ὁμωνύμως σημαινόμενα διαιρεῖται, ὧν ἑνὸς καὶ τοῦ αὐτοῦ ὄντος ὀνόματος, διάφοροί εἰσιν αἱ τούτων οὐσίαι. οἷον ἡ κύων φωνὴ λέγεται ἐπί τε τοῦ χερσαίου κυνὸς, καὶ τοῦ θαλαττίου, καὶ τοῦ ἀστρῴου, ὅμως αἱ οὐσίαι τούτων εἰσὶ διάφοροι. ἑτέρα γὰρ οὐσία κυνὸς χερσαίου, καὶ ἑτέρα ἀστρῴου, καὶ ἑτέρα θαλαττίου.

Δεύτερον διαιρεῖται εἰς τὰ συνωνύμως λεγόμενα, ὧν κοινόν ἐστι τό, τε ὄνομα, καὶ ἡ οὐσία. οἷον ζῷον ὅ, τε βοῦς, καὶ ὁ ἄνθρωπος. ἑκάτερος γὰρ τούτων ζῷον, καὶ τὸν τοῦ ζῴου λόγον ἑκάτεροι ἐπιδέχονται. καὶ τρίτον διαιρεῖται εἰς τὰ παρωνύμως λεγόμενα. ἅτινα κατὰ μετοχὴν, τῆς τε φωνῆς καὶ τοῦ εἴδους ἀφ' οὗ παρωνόμασται λέγεται. οἷον ὁ γραμματικὸς ἀπὸ τῆς γραμματικῆς. περὶ ὧν διεξοδικώτερον εἰρήσεται ἐν τῷ περὶ ὁρισμοῦ κεφαλαίῳ, νῦν δὲ τοσαῦτα ἀρκεῖ περὶ τούτων. ἡ δὲ κατὰ συμβεβηκὸς διαίρεσις, ἢ ἀπὸ οὐσίας εἰς συμβεβηκότα γίνεται, ἢ τὸ ἀνάπαλιν ἀπὸ συμβεβηκότων εἰς οὐσίας. ἢ ἀπὸ συμβεβηκότων εἰς συμβεβηκότα. καὶ ἀπὸ μὲν οὐσίας εἰς συμβεβηκότα ἡ διαίρεσις γίνεται, ὡς ὅταν εἴπωμεν· τοῦ σώματος τὸ μέν ἐστι λευκὸν, τὸ δὲ μέλαν. ἀπὸ δὲ συμβεβηκότων εἰς οὐσίας, ἤτοι εἰς ὑποκείμενα, ὡς ὅταν εἴπωμεν· τοῦ λευκοῦ τὸ μέν ἐστι χιὼν, τὸ δὲ κύκνος, ἢ ψιμμύθιον. ἀπὸ δὲ συμβεβηκότων εἰς συμβεβηκότα, ὡς ὅταν εἴπωμεν· τοῦ χρώματος τὸ μέν ἐστι λευκὸν, τὸ δὲ μέλαν. ἀλλ' ἐκεῖνο εἰδέναι δέον, ὅτι μόναι αἱ καθ' αὑτὸ διαιρέσεις κυρίως ἂν διαιρέσεις ῥηθεῖεν. αἱ δὲ κατὰ συμβεβηκὸς καταχρηστικῶς λεγέσθωσαν. τὸ γὰρ λέγειν ὅτι τοῦ σώματος τὸ μέν ἐστι λευκὸν, τὸ δὲ μέλαν, οὐκ ἔστι διαίρεσις ἀπ' οὐσίας εἰς συμβεβηκότα, ἀλλὰ μᾶλλον ἀπὸ οὐσίας εἰς οὐσίας ἐχούσας συμβεβηκότα. εἰς σώματα γὰρ μέλανα καὶ λευκὰ ἐγένετο ἡ διαίρεσις, ἅπερ εἰσὶν οὐσίαι. ἀλλ' οὐδὲ τὸ συμβεβηκὸς εἰς οὐσίας διαιρεθῆναι δύναται. ὅτι τὸ διαιρούμενον πρᾶγμα φιλεῖ διαιρεῖσθαι εἰς ὅμοια, οὐ μὴν εἰς ἀνόμοια. ἀνόμοιον δὲ οὐσία συμβεβηκότι. οὔτε μὴν ἀπὸ συμβεβηκότων εἰς συμβεβηκότα διαίρεσις γενέσθαι ἐνδέχεται. ἡ γὰρ τοιαύτη διαίρεσις, ἢ ἀπὸ γένους εἰς εἴδη γίνεται, ὡς ὅταν εἰς λευκὸν καὶ μέλαν διαιρεῖται τὸ χρῶμα. γένος γάρ ἐστι τὸ χρῶμα τοῦ λευκοῦ καὶ τοῦ μέλανος, ἢ ἀπὸ οὐσίας εἰς οὐσίας γίνεται. τὸ γὰρ λέγειν ὅτι τῶν λευκῶν τὰ μέν εἰσι θερμὰ, τὰ δὲ ψυχρὰ, οὐδὲν ἄλλο ἐστὶν, ἢ ὅτι τῶν σωμάτων τῶν ἐπιδεδεγμένων λευκότητα, τὰ μὲν ἔχει θερμότητα, τὰ δὲ ψυχρότητα. ἐπεὶ γὰρ αὐτὴ καθ' ἑαυτὴν ἡ λευκότης, ἥτις ἐστὶ συμβεβηκὸς, οὔτε θερμή ἐστιν, οὔτε ψυχρά. ἐπεὶ οὐκ ἔστι τὶ συμβεβη-

κὸς ἑτέρῳ συμβεβηκότι πρὸς ὕπαρξιν ὑποκείμενον, ἀλλὰ μόνη ἡ οὐσία πᾶσι τοῖς συμβεβηκόσιν ὑπόκειται. ὥστε οὐκ εἰσὶν αἱ κατὰ συμβεβηκὸς διαιρέσεις, κυρίως διαιρέσεις, ἀλλὰ καταχρηστικῶς.

Τινὲς δὲ προστιθέασι τοῖς εἰρημένοις εἴδεσι τῆς κατὰ συμβεβηκὸς διαιρέσεως, καὶ τὴν ἀφ᾽ ἑνός, ἢ πρὸς ἓν διαίρεσιν. ἀλλ᾽ αὕτη ἀπαρίθμησις ἂν εἴη μᾶλλον, ἢ διαίρεσις. ἀόριστα γὰρ τὰ ὑπὸ τοιαύτην διαίρεσιν, καὶ ἀριθμῷ ἀπερίληπτα. δύναται γάρ τις εἰπεῖν ὡς ἀφ᾽ ἑνός, τῆς ἰατρικῆς, ἰατρικὸν βιβλίον, καὶ ἰατρικὸν ἐργαλεῖον, καὶ ἰατρικὸν σκεῦος, καὶ ἰατρικὸν ἔμπλαστρον, καὶ ἄλλα μυρία. ὡσαύτως καὶ ἀπὸ τοῦ πρὸς ἕν, τῆς ὑγείας δηλονότι, ὑγιεινὸν σῖτον, ὑγιεινὴν δίαιταν, καὶ ὑγιεινὸν ἀέρα, καὶ ἄλλα τοιαῦτα.

Προσέτι λέγουσιν, ὅτι καὶ ἡ διαίρεσις τῶν εἰδικωτάτων εἰς τὰ ὑφ᾽ αὐτὰ ἄτομα, εἰς τὴν κατὰ συμβεβηκὸς διαίρεσιν ἀνάγεται. φέρ᾽ εἰπεῖν, τὸ ἀνθρώπειον εἶδος, ὅπερ εἶδος εἰδικώτατον λέγεται, διὰ τὸ μὴ εἰστέμνεσθαι εἰς ἕτερα ὑφ᾽ αὐτοῦ εἴδη, ἀλλ᾽ εἰς ἄτομα. οἷά ἐστι σωκράτης, πλάτων, καὶ οἱ λοιποὶ κατὰ μέρος ἄνοι. ἀλλὰ καὶ αὕτη, ὥσπερ καὶ ἡ ἀφ᾽ ἑνός, ἢ πρὸς ἕν, ἀπαρίθμησις ἂν ῥηθείη μᾶλλον, ἢ διαίρεσις. τὸ γὰρ διαιρούμενον εἰς ὡρισμένα καὶ ἀριθμῷ περιλαμβανόμενα διαιρεῖται. τὰ δὲ ἄτομα εἰσὶν ἄπειρα καὶ ἀριθμῷ ἀπερίληπτα, ὥστε οὔτε διαιρέσει καθυποβληθῆναι δύναται.

## Διαφορὰ Διαιρέσεως, Ἐπιδιαιρέσεως, καὶ Ὑποδιαιρέσεως.

Ἰστέον δὲ ὅτι Διαίρεσις, Ἐπιδιαίρεσις, καὶ Ὑποδιαίρεσις, κατὰ τοῦτο διαφέρουσιν ἀλλήλων, καθ᾽ ὅτι ἡ μὲν διαίρεσις πρώτως τέμνει τὸ πρᾶγμα. διὸ καὶ κατὰ πρώτην ἐπιβολὴν τομὴ τοῦ πράγματος λέγεται, πρὸς ἀντιδιαστολὴν τῶν κατὰ δευτέραν ἐπιβολὴν γενομένων, τῆς ἐπιδιαιρέσεως φημί, καὶ ὑποδιαιρέσεως. Ἐπιδιαίρεσις δέ ἐστιν ἡ κατὰ δευτέραν ἐπιβολὴν τομή. καὶ Ὑποδιαίρεσις ἡ τοῦ διαιρεθέντος ἤδη πράγματος τοῦ μέρους τομή. ἔστω ἐπὶ παραδείγματος φανερὸν τὸ λεγόμενον. κατὰ πρώτην τοίνυν ἐπιβολὴν διαίρεσις γίνεται, ὡς ὅταν εἴπωμεν, ὁ ἄνθρωπος διαιρεῖται εἰς ἄρσεν καὶ θῆλυ, τοῦτο διαίρεσις. καὶ πάλιν ὁ ἄνθρωπος διαιρεῖται εἰς ψυχὴν καὶ σῶμα, τοῦτο ἐπιδιαίρεσις. ἥτις τότε μόνον ὀφείλει γίνεσθαι, ὅτε ἐφ᾽ ἑκάστου τῶν τμημάτων τῆς πρώτης διαιρέσεως τὰ τῆς ἐπιδιαιρέσεως τμήματα θεωροῦνται. καὶ γὰρ ἐν τῷ ἄρρενι καὶ τῷ θήλει θεωρεῖται ψυχή,

καὶ

ΙΩΑΝΝΙΝΑ 2006

καὶ σῶμα. ὅταν δὲ εἴπωμεν ὅτι ἡ οὐσία διαιρεῖται εἰς σῶμα, καὶ ἀσώματον, εἴπωμεν δὲ πάλιν ὅτι τὸ σῶμα διαιρεῖται εἰς ἔμψυχον καὶ ἄψυχον, τότε ὑποδιαίρεσιν ἐποιήσαμεν. λέγονται δὲ τὰ ἐκ τοῦ αὐτοῦ γένους τμήματα, εἴδη ἀντιδιαιρούμενα, ὡς ἀντίθεσίν τινα πρὸς ἄλληλα ἔχοντα, κἂν ὦσιν ἐκ τοῦ αὐτοῦ καὶ ἑνὸς γένους. οἷον τὸ σῶμα καὶ τὸ ἀσώματον ἐκ τῆς οὐσίας διαιρεθέντα, καὶ μετέχοντα τῆς οὐσίας ἐπίσης, ἀντίκεινται θάτερον θατέρῳ κατὰ τὰς οὐσιώδεις διαφοράς. τὸ μὲν γὰρ σῶμα ἐστὶ τριχῇ διαστατόν, ἤτοι τρεῖς διαστάσεις ἔχον, μῆκος, πλάτος, καὶ βάθος. τὸ δὲ ἀσώματον οὐδεμιᾷ διαστάσει ὑπόκειται, ἀλλ' ἔστιν ἁπλοῦν καὶ ἀμέριστον. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. οἷον, τὸ ἔμψυχον διαιρούμενον εἰς τὸ αἰσθητικὸν καὶ ἀναίσθητον ἀντίκειται θάτερον θατέρῳ.

Προσέτι λέγονται αὖ ἀντιδιῃρημένα, τυχὸν τῆς ἀντὶ προθέσεως, ἀντὶ τοῦ ἴσως λαμβανομένης, ὡς τὸ ἀντίθεον ἰσόθεον. ἴσως γὰρ μετέχουσι καὶ ὁμοτίμως πάντα, οἷον τοῦ γένους τὰ διαιρούμενα ἐκ τοῦ αὐτοῦ καὶ ἑνὸς γένους, ὡς ἂν εἴποι τις ἰσοδιῃρημένα, καὶ θάτερον ἀντὶ θατέρου κατὰ τὸ ἰσοδιαίρετον λογιζόμενα. καὶ γὰρ ἐν τοῖς τοιούτοις ἀντιδιαιρουμένοις εἴδεσιν οὐκ ἔστι τὸ μᾶλλον καὶ ἧττον μετέχειν τοῦ γένους ἐξ οὗ διῄρηνται. οὔτε γὰρ τὸ σῶμα τυγχάνει οὐσία μᾶλλον τοῦ ἀσωμάτου, οὔτε τὸ ἀσώματον μᾶλλον οὐσία τοῦ σώματος. καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως.

Κἀκεῖνο δέον εἰδέναι, ὅτι ἐν τοῖς ἀντιδιαιρουμένοις εἴδεσιν οὐχ εὑρίσκεται τὸ φύσει πρότερον. κατὰ πάντας γὰρ τοὺς τρόπους τῶν διαιρέσεων, ἄπεστιν ἐκ τῶν τμημάτων τό, τε μᾶλλον, καὶ ἧττον, καὶ τὸ φύσει πρότερον, πλὴν τῶν ἀφ' ἑνὸς καὶ πρὸς ἕν. ἀλλ' ἵνα γνῶτε τί τὸ φύσει πρότερον, προσληπτέον καὶ τάδε. φύσει πρότερον λέγεται τὸ συναναιροῦν καὶ μὴ συναναιρούμενον, καὶ συνεισφερόμενον καὶ μὴ συνεισφέρον. ἔστω ὡς ἐν παραδείγματι, τὸ ζῶον ἐστὶ πρότερον τοῦ ἀνθρώπου φύσει. διότι ἀναιρούμενον συναναιρεῖ τὸν ἄνθρωπον. τοῦ ζώου γὰρ ἀναιρεθέντος, ἀνάγκη πάντα τὰ ὑφ' αὐτὸ εἴδη τὰ μετέχοντα τούτου συναναιρεθῆναι. πῶς γὰρ εἴη ἄνθρωπος, ἢ βοῦς, ζώου μὴ ὄντος; καὶ πάλιν συνεισφερόμενον οὐ συνεισφέρει. ἐπειδὴ συνεισφέρεται μὲν τῷ ἀνθρώπῳ, οὐ συνεισφέρει δὲ τὸν ἄνθρωπον. ἀνθρώπου γὰρ ἐν κόσμῳ ὄντος ἐξ ἀνάγκης καὶ ζῶον ἕπεται εἶναι. ζῶον γὰρ ἄνθρωπος. ζώου δὲ ὄντος, οὐκ ἤδη καὶ ἄνθρωπον ἕπεται εἶναι, ἀλλ' ἵππος τυχόν, ἢ βοῦς, ἢ κύων ἔσται, ἢ ἄλλο τι τοιοῦτον εἶδος, ἐν οἷς τὸ ζῶον θεωρεῖται. ἔστιν οὖν φύσει πρότερον τοῦ εἴδους τὸ γένος, καὶ τὸ εἶδος τῶν ἀτόμων. οἷον, τὸ ζῶον φύσει πρότερον τοῦ ἀνθρωπείου εἴδους, καὶ τὸ ἀνθρώπειον εἶδος φύσει πρότερον τῶν ἀτόμων, οἷον Πέτρου, Παύλου, καὶ τῶν λοιπῶν. ἐν δὲ τοῖς εἴδεσι τοῖς ἀντιδιαιρουμένοις, ἢ τοῖς ἀτόμοις τοῖς ὑπὸ τὰ εἴδη, τὸ φύσει πρότερον οὐ θεωρεῖται. οὐ γὰρ τὸ λογικὸν

γικὸν

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

γικὸν φύσει πρότερον τοῦ ἀλόγου, ἐπεὶ οὔτε συναναιρεῖ, οὔτε συνεισφέρεται· μήτε ὁ πέτρος φύσει πρότερος τοῦ παύλου· ἀλλ' οὐ δὲ ζῶον μᾶλλον ὑπάρχει τὸ λογικὸν, τὸ δὲ ἄλογον ἧττον, οὐδὲ ὁ πέτρος μᾶλλον ἄνθρωπος, καὶ ἧττον ὁ παῦλος. τοῦτο δὲ ἐν τοῖς ἀφ' ἑνὸς ἢ πρὸς ἓν θεωρεῖται. φάρμακον γὰρ ἄλλου φαρμάκου ὑγιεινότερον, καὶ ἰατρικὴ ἐργασία, ἄλλης ἰατρικῆς ἐργασίας ἐστὶν ἰατρικωτέρα.

- Τὰ διαιρούμενα.
  - Ἢ καθ' αὑτό· τὸ καθ' αὑτὸ τριχῶς.
    - Γένος εἰς εἴδη, ὡς τὸ ζῶον τὸ μὲν ἐστι χερσαῖον, τὸ δὲ ἔνυδρον.
    - Ὅλον εἰς μέρη
      - Ἢ οὐσιωδῶς· ὡς τοῦ ἀν͂ου τὸ μὲν σῶμα, τὸ δὲ ψυχή.
      - Ἢ κατὰ ποσότητα.
    - Ὁμωνύμου φωνῆς εἰς διάφορα σημαινόμενα.
      - Ἢ εἰς τὰ ὁμωνύμως· ὡς κύων φωνὴ ἐπὶ τοῦ χερσαίου, θαλαττίου, καὶ ἀστρώου.
      - Ἢ εἰς τὰ συνωνύμως· ὡς ζῶον, ὅ, τε βοῦς, καὶ ἄν͂ος.
      - Ἢ εἰς τὰ παρωνύμως· ὡς γραμματικὸς ἀπὸ τῆς γραμματικῆς.
  - Ἢ κατὰ συμβεβηκός.

## Περὶ τῆς ὑγιοῦς Διαιρέσεως:

Ἔχομεν οὖν διαγινώσκειν τὴν ὑγιῶς ἔχουσαν διαίρεσιν, πλείοσι μὲν καὶ ἄλλοις μάλιστα δὲ τέτταρσι τούτοις. πρῶτον τὸ τὰ μέρη τῆς διαιρέ-

σεως

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

σεως ἀντικείμενα εἶναι, ὡς θάτερον μὴ περιέχεσθαι ἐν θατέρῳ. οἷον, διαιρεθέντος τοῦ ζώου εἰς λογικὸν καὶ ἄλογον, ἅπερ ἀντιδιαιρούμενα εἴδη λέγεται, μήτε τὸ λογικὸν ἐν τῷ ἀλόγῳ περικλύεσθαι, μήτε τὸ ἄλογον ἐν τῷ λογικῷ, ἀλλὰ διακεκριμένως ἔχειν καθὸ τοιαῦτα. Δεύτερον τῷ τὰ μέρη πάντα ἑνώμενα ἐξισοῦσθαι τῷ ὅλῳ, ὥστε μήτε περιττεύειν ἐκείνε, μήτ' ἐλλείπειν. οἷον, τὸ ἄλογον ζῶον, καὶ τὸ λογικὸν, ἐξισοῦσθαι τῷ ἁπλῷ ζώῳ. Τρίτον τῷ τὴν διαίρεσιν πᾶσαν εἰς δύο μέρη τὰ πρῶτα ἀντικείμενα ἀνάγεσθαι. οἷον, πάντα τὰ ἀναίσθητα σώματα ὑπὸ τὸ ἀναίσθητον σῶμα, καὶ πάντα τὰ αἰσθητικὰ ὑπὸ τὸ αἰσθητικόν. ὁμοίως καὶ ἐπὶ τῶν λοιπῶν γενῶν. καὶ Τέταρτον, τῷ εἰς μέρη διαιρεῖσθαι προσεχέστερα τὸ πρῶτον. ὡς ὅταν εἴπωμεν, ἡ οὐσία διαιρεῖται εἰς σῶμα καὶ ἀσώματον, οὐ μὴν εἰς ἔμψυχον, καὶ ἄψυχον. προσεχέστερα γὰρ τῇ οὐσίᾳ τὸ σῶμα καὶ τὸ ἀσώματον, ἢ τὸ ἔμψυχον, καὶ τὸ ἄψυχον.

Τέσσαρσι τρόποις διαγινώσκομεν τὴν ὑγιῶς ἔχουσαν διαίρεσιν.

- α'. Τῷ τὰ μέρη τῆς διαιρέσεως ἀντικείμενα εἶναι.
- β'. Τῷ τὰ μέρη πάντα ἐξισοῦσθαι τῷ ὅλῳ.
- γ'. Τῷ εἰς τὰ δύο πρῶτα μέρη ἀντικείμενα ἀνάγεσθαι.
- δ'. Εἰς τὰ προσεχέστερα μέρη διαιρεῖσθαι τὸ α'.

## Περὶ διαφορᾶς Πείρας, Ἐμπειρίας, Τέχνης, καὶ Ἐπιστήμης. ἐν ᾧ καὶ περὶ τῶν δυνάμεων τῆς ψυχῆς.

Ἀκόλουθον ἂν εἴη ἄρα διαλαβοῦσι περί τε ὅρου, καὶ διαφορᾶς ὅρων, προσέτι περὶ διαιρέσεως, καὶ τῶν ταύτης διαφορῶν, ὡς καὶ ταύτης ἀναγκαίας οὔσης, θεωρῆσαι περί τε τοῦ γένους καὶ τῆς διαφορᾶς τῆς λογικῆς μεθόδου, περὶ ἧς τὸ σκοπούμενον, ἵνα ἐκ τούτων τὸν ὁρισμὸν ταύτης θηρεύσωμεν. ἀλλ' ἐπειδὴ διαφόρως οἱ πάλαι καὶ νῦν φιλοσοφοῦντες περὶ ταύτης δοξάζουσιν, οἱ μὲν ἐπιστήμην, οἱ δὲ τέχνην ταύτην λέγοντες εἶναι, οἱ δὲ ἐκ φύσεως ταύτην προερχομένην, καὶ οἱονεὶ, φυσικήν τις ἕξις διὰ τύξεως,

 ἀλλ'

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ Κ.Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀλλ' οὐκ ἐκ μαθήσεως προσποριζομένη κατὰ τοὺς Πλατωνικούς, ἔδοξε δέον ὡς οὖν διὰ βραχέων, ὀλίγ' ἄττα διαλαβεῖν περὶ Τέχνης καὶ Ἐπιστήμης. ἀλλ' ἵνα μᾶλλον ὁ λόγος ἐμμεθόδως προάγηται, πρὸ τούτων περὶ Πείρας καὶ Ἐμπειρίας εὔλογον διαλαβεῖν, ὅπως ἑκάστης τούτων τὰ ἰδιάζοντα διαγνῶντες, εὐχερέστερον τῆς λογικῆς μεθόδου τὸ προσεχὲς γένος διαγινώσκειν ἕξωμεν. ἔστω δὲ ὁ λόγος ὡς ἀπὸ τοιαύτης διαιρέσεως.

Ἡ γνῶσις ἢ ἄνευ λόγου ἐστὶν, ἢ μετὰ λόγου· καὶ ἢ μερική ἐστιν, ἢ καθόλου. ἡ μὲν οὖν ἄνευ λόγου γνῶσις, εἰ μερικὴ εἴη ποιεῖ τὴν Πεῖραν, καὶ ἔστιν ἡ Πεῖρα ἑνὸς πράγματος ἄλογος γνῶσις. οἷον, ὅταν τὶς ἓν μόνον γινώσκει βοήθημα, καὶ τούτῳ χρῶτο, τὴν αἰτίαν ἀγνοῶν καθ' ἣν ὠφελεῖ τὸ τοιοῦτον βοήθημα. ἡ δὲ ἄνευ λόγου γνῶσις ἡ καθόλου ποιεῖ τὴν Ἐμπειρίαν, καὶ ἔστιν ἡ Ἐμπειρία ἄλογος γνῶσις τῶν καθόλου, ὥσπερ ἐπὶ τῶν ἐμπειρικῶν Ἰατρῶν ἐρῶμεν. οὗτοι γὰρ πολλὰ μὲν γινώσκουσι βοηθήματα, τὴν δὲ αἰτίαν τῆς βοηθείας αὐτῶν οὐ γινώσκουσι. Ἐμπειρία τοίνυν ἐστὶ μνήμη καὶ τήρησις ἄλογος τῶν πολλάκις καὶ ὡσαύτως ὀφθέντων. ὁ γὰρ ἐμπειρικὸς Ἰατρὸς ἐν μνήμῃ κατέχων καὶ τηρῶν τὰ πολλάκις καὶ ὡσαύτως ὀφθέντα ἰάματα, κέχρηται τούτοις, τὴν αἰτίαν τῆς ἰάσεως ἀγνοῶν.

Ἡ δὲ μετὰ λόγου μερικὴ γνῶσις, Τέχνης, ἢ Ἐπιστήμης μέρος ποιεῖ. Τέχνης μὲν, εἰ τὸ ὑποκείμενον ἐστὶ τρεπτὸν, ὡς ἐπὶ τῆς Τεκτονικῆς. Τέχνη γὰρ αὕτη, καὶ μερική. ὅτι περὶ μόνα τὰ ξύλα καταγίνεται, τρεπτὰ ὄντα, καὶ φθαρτά. Ἐπιστήμης δὲ μέρος ποιεῖ, εἰ τὸ ὑποκείμενον ὑπάρχει ἄτρεπτον· ὡς ἐπὶ τῆς Ἀστρονομίας, ἥτις μερικὴ οὖσα (περὶ γὰρ μόνα τὰ οὐράνια σώματα καταγίνεται) καὶ μερικὰ ὑποκείμενα ἔχουσα, ἄτρεπτα ταῦτα καὶ ἀδιάφθαρτα ἔχει. ἡ δὲ καθόλου μετὰ λόγου γνῶσις, Τέχνην τελείαν, ἢ τελείαν Ἐπιστήμην. Τέχνην μὲν εἰ τὰ ὑποκείμενα τρεπτά τε καὶ ἀλλοιωτὰ ἔχει· εἰ δὲ ἄτρεπτα καὶ ἀναλλοίωτα ἔχει, Ἐπιστήμην ποιεῖ. ἡ γὰρ Τέχνη καὶ Ἐπιστήμη κατὰ τὰ ὑποκείμενα διαφέρουσιν. ἔστι μὲν οὖν ἡ Τέχνη γνῶσις τῶν καθόλου μετὰ λόγου, τρεπτὰ τὰ ὑποκείμενα ἔχουσα. ἢ καὶ οὕτως. Τέχνη ἐστὶ σύστημα ἐκ καταλήψεων ἐγγεγυμνασμένων, πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ. σύστημα μὲν οὖν ἐκ καταλήψεων εἴρηται, τουτέστιν ἄθροισμα ἐξ ἐφευρέσεων πρὸς ἀντιδιαστολὴν τῆς Πείρας, ὑπαρχούσης γνώσεως μερικῆς. ἐγγεγυμνασμένων δὲ, ἤτοι δεδοκιμασμένων, διὰ τὴν Ἐμπειρίαν, ἀδόκιμον οὖσαν τριβήν. τὸ δὲ πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ πρόσκειται, διὰ τὰς ματαιοτεχνίας καὶ κακοτεχνίας. ἡ γὰρ ματαιοτεχνία οὔτε ὠφέλειαν, οὔτε βλάβην εἰσφέρει τῷ βίῳ, ἀλλὰ μόνον ἀσχολίαν καὶ διατριβὴν ἄχρηστον. ὡς ἡ τῶν κύβων, καὶ τῶν ζατρίων, καὶ ἄλλων παρομοίων. ἡ δέγε κα-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

κοτεχνία πρὸς τὸ μηδὲν ὠφελεῖν καὶ βλάπτειν τὸν βίον. ὡς ἡ γοητικὴ καὶ αἱ τοιαῦται. ὁριστέον καὶ οὕτως. Τέχνη ἐστὶν ἕξις ὁδῷ βαδίζουσα, μετὰ φαντασίας. πρόσκειται δὲ, τὸ μετὰ φαντασίας, διὰ τὴν φύσιν. ἕξις γὰρ ἐστὶ καὶ ἡ φύσις ὡς ἔχουσα τὸ εἶναι ἐν οἷς ἐστίν. οἷον διὰ τὸ τὴν ἕξιν ἀπὸ τοῦ ἔχω λέγεσθαι ἐν τῷ ζώῳ, ἐν φυτῷ, καὶ τοῖς λοιποῖς. βαδίζει δὲ καὶ αὕτη ὁδῷ, τουτέστι κατὰ τάξιν προσέρχεται, καὶ πάντα κατὰ λόγον ποιεῖ, ἀλλ᾿ οὐ μετὰ φαντασίας ὥσπερ ἡ Τέχνη. οὐ γὰρ φαντάζεται ἐν ἑαυτῇ ὃ βούλεται κατασκευάσαι. ἄλογος γάρ ἐστιν. ὁ δὲ τεχνίτης, κεχρημένος τῷ λόγῳ ἡνίκα τι βούλεται ποιῆσαι, πρότερον διατυποῖ τὸ τοιοῦτον ἐν ἑαυτῷ, καὶ εἶθ᾿ οὕτως ἀποτελεῖ.

Ἐπιστήμη δέ ἐστιν ἡ τῶν καθόλου ἄπταιστος γνῶσις, καὶ ἀμετακίνητος, ἄτρεπτα καὶ ἀΐδια τὰ ὑποκείμενα ἔχουσα. ἀπταίστως γὰρ γινώσκει τὰ γινωσκόμενα, διὰ τὸ αὐτῶν ἀρρευστόν τε καὶ ἀναλλοίωτον. οὐ γὰρ ἐξετάζει τὰς ἰδιότητας τῶν ἐπὶ μέρους κράσεων, ὥσπερ ἡ Ἰατρική, ἀλλὰ περὶ τοῦ καθόλου Ἀνθρώπου, καὶ τοῦ καθόλου Ἵππου, καὶ τῶν ὁμοίων διαλαμβάνει, ἅτινα ἀεὶ ὡσαύτως ἔχουσιν.

Ἡ δὲ Τέχνη περὶ τὰ ῥευστὰ καὶ τὰ μὴ ἀεὶ ὡσαύτως ἔχοντα καταγίνεται. τὰ γὰρ ὑποκείμενα ταύτης ὡς ἐφήμερα, φθορᾷ ὑπόκεινται καὶ ἀλλοιώσει, ὡς τῇ Ἰατρικῇ τὰ ἀνθρώπεια σώματα. ὅθεν τοῦ Ἰατροῦ δόντος καθάρσιον ἐν καιρῷ δέοντι, διὰ τὸ αἰφνιδίως τραπῆναι τὸ τηνικαῦτα κατάστημα, οἷον τοῦ σώματος, κἀντεῦθεν ἀλλοιωθὲν τὸ ὑποκείμενον, βλάβη τῷ καθαρσίῳ ἀντ᾿ ὠφελείας ἐπηκολούθησεν. ὥστε ἡ ἀποτυχία τῆς ἰάσεως, οὐ διὰ τὸν λόγον τῆς τέχνης, ἀλλὰ διὰ τὸ τρεπτὸν τοῦ ὑποκειμένου γέγονε. τοῦτο δὲ τὸ ἄστατον τῶν ὑποκειμένων, καὶ ἐπὶ πασῶν θεωρεῖται τεχνῶν.

Διὸ ἡ Ἐπιστήμη τὰ ὑποκείμενα ἄτρεπτα καὶ στάσιμα ἔχουσα, τοιαύτης καὶ τῆς ὀνομασίας τετύχηκεν. εἴρηται γὰρ Ἐπιστήμη, διὰ τὸ ἐπὶ στάσιν καὶ ὅρον τῶν πραγμάτων ἄγειν ἡμᾶς, ἀπάγουσα ἀπὸ τῆς ἀοριστίας, καὶ μεταβολῆς τῶν μερικῶν. ἀόριστα γὰρ τὰ μερικὰ, διὰ τὸ μεταβάλλεσθαι. ἔργον γὰρ Ἐπιστήμης ἡ θεωρία τῶν καθόλου, τὰ δὲ καθόλου εἰσὶν ἀμετάπτωτα, καὶ ἀεὶ ὡσαύτως ἔχοντα, καθὸ τῆς τέχνης ἀντιδιαστέλλεται.

Ἐπεὶ δὲ τοιγαροῦν ἡ λογικὴ ἕξις ἐπὶ τὰς ψυχικὰς δυνάμεις ἀναφέρεται, ὥσπερ καὶ αἱ λοιπαὶ τῶν Τεχνῶν καὶ Ἐπιστημῶν, ἔδοξεν οὐκ ἄπο σκοποῦ, ὀλίγ᾿ ἄττα, καὶ περὶ ψυχικῶν δυνάμεων διεξελθεῖν, ἵνα καὶ τὴν διαίρεσιν τούτων καὶ τὴν διαφορὰν (ἐφ᾿ ὅσον ἐπὶ τοῦ παρόντος δεόμεθα τούτων) γνοίημεν πρὸ τῶν ἄλλων. τοίνυν τῶν ψυχικῶν δυνάμεων αἱ μὲν φυτικαὶ, αἱ δὲ ζωτικαὶ καὶ ὀρεκτικαὶ, αἱ δὲ γνωστικαί εἰσι καὶ διανοητικαί. καὶ φυτικαὶ μέν εἰσιν,



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἥτε θρεπτική, καὶ αὐξητική, καὶ γεννητική, ὡς ἐπὶ τῶν φυτῶν θεωρεῖται. ταῦτα γὰρ τρεφόμενα αὔξει, καὶ αὐξόμενα γεννᾷ καρπούς, κλάδους, καὶ τὰ τοιαῦτα. ζωτικαὶ δὲ πάλιν καὶ ὀρεκτικαί, ἡ βούλησις, ἡ προαίρεσις, ὁ θυμός, καὶ ἡ ἐπιθυμία, ὡς ἐπὶ τῶν ζώων θεωρεῖται. ἀλλ' αὗται μὲν οὐ πᾶσαι θεωροῦνται ἐπὶ τῶν ἀλόγων ζώων, ἀλλ' εἰσί τινες αἳ καὶ λόγου μετέχουσι. (ὅσαι γὰρ τῶν δυνάμεων ἐπὶ τῶν ἀλόγων θεωροῦνται, αὗται ἐπὶ τῶν λογικῶν τελεώτεραι ἐκλαμβάνονται) ὅθεν ἡ μὲν βούλησις δύναμις ἐστὶ λογική, καὶ τρόπον τινὰ ἴδιος τῷ ἀνθρώπῳ εἴδει. ἄλογοι δὲ δυνάμεις, ἡ ἐπιθυμία, καὶ ὁ θυμός. ἡ δ' αὖ προαίρεσις κατ' ἀμφότερα θεωρεῖται.

Ἔστι τοίνυν ἡ Βούλησις αὐτὴ καθ' αὑτὴν τῆς λογικῆς ψυχῆς, καὶ πρὸς μόνον τὸ ἀγαθὸν ἀποτείνεται. εἰ δ' ἐνίοτε βούλεται καὶ τὸ κακόν, ἀλλὰ τοῦτο οὐχ ᾗ κακόν, ἀλλ' ὡς συμφέρον τοῦτο βούλεται. ἡ δὲ προαίρεσις ἐστὶ συμπεπλεγμένη τῇ ἀλογίᾳ. διὸ καὶ ποτὲ μὲν πρὸς τοῦ λόγου, ποτὲ δὲ πρὸς τῆς ἀλογίας γίνεται, καὶ αἱρεῖται πρὸ τοῦδε τόδε, διὸ καὶ προαίρεσις λέγεται. γνωστικαὶ δὲ δυνάμεις τῆς ψυχῆς εἰσι, Νοῦς, Διάνοια, Δόξα, Φαντασία, καὶ Αἴσθησις. καὶ τούτων πάλιν, Νοῦς καὶ Διάνοια εἰσὶ λογικαί. Φαντασία δὲ καὶ Αἴσθησις, ἄλογοι. ἡ δὲ Δόξα θεωρεῖται κατ' ἄμφω. γίνεται γὰρ αὕτη καὶ μετὰ λόγου, καὶ ἄνευ λόγου. καὶ ἄνευ λόγου μὲν γίνεται, ὅταν χωρὶς αἰτίας δοξάζῃ τὰ πράγματα. οἷον, δοξάζει τὶς τὸν ἄνθρωπον εἶναι γελαστικόν, οὐκ ἀπό τινος αἰτίας εἰς τοῦτο ἐλθών. καὶ αὕτη λέγεται ἄλογος δόξα. μετὰ λόγου δέ, ὅταν ἐξ αἰτίας εὐλόγου εἰς τοῦτο προάγηται. ὡς ὅταν εἴποι τις. πᾶν λογικὸν γελαστικόν, ὁ ἄνθρωπος λογικός, ἄρα ὁ ἄνθρωπος γελαστικός. καὶ αὕτη ἐστὶν ἡ μετὰ λόγου γινομένη δόξα, ἥτις συμπέρασμά ἐστι τῶν προτάσεων. Αἴσθησις δέ ἐστιν ἡ μερικὴ γνῶσις τοῦ παρόντος. ἡ γὰρ Αἴσθησις τοῦ παρόντος μόνον ἀντιλαμβάνεται. οἷον, ἡ ὅρασις ὅπερ ὁρᾷ, τοῦτο μόνον ἀντιλαμβάνεται. ὁμοίως καὶ αἱ λοιπαὶ τῶν αἰσθήσεων.

Φαντασία δέ ἐστιν ἡ τοῦ ἀπόντος μερικὴ γνῶσις. ὡς ὅταν εἴδῃ τις τὸν ὄνον, ἢ ἄλλο τι, εἶτα φαντάζεται αὐτὸν τοιοῦτον ἢ τοιοῦτον ὄντα. ὅπερ καὶ ἀναπόλησις λέγεται. ταύτην δὲ τὴν φαντασίαν ὁ Ἀριστοτέλης νοῦν ὠνόμασε παθητικόν. νοῦν μέν, ὡς ἔχουσαν ἔνδον τὸ γνωστὸν ἐν ἑαυτῇ. διαφέρει δὲ τῆς αἰσθήσεως. ὅτι ἅπερ ἡ αἴσθησις γινώσκει κείμενα ἔξω, δεομένη τῆς παρουσίας ἐκείνων πρὸς τὸ ἐνεργῆσαι περὶ αὐτά, τούτων τοὺς τύπους ἡ φαντασία ἀπομαξαμένη διὰ τῶν αἰσθήσεων, ἔχει ἐν ἑαυτῇ, καὶ δύναται προβάλλειν, μηδαμῶς τῶν ἔξω δεομένη κειμένων. διὸ κἂν τοῖς ὕπνοις ἐνεργεῖ, τῶν αἰσθήσεων ἀνενεργήτων οὐσῶν.

Παθη-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Παθητικὸν δὲ ταύτην εἴρηκε, διότι μετὰ μερισμοῦ γινώσκει τὰ πράγματα, καὶ μετὰ διαστάσεως, ἐκ τῶν αἰσθητῶν ἐρχόμενα τε καὶ συνιστάμενα, καὶ πολλάκις τῇ χρονίῳ ἀπουσίᾳ τῶν αἰσθητῶν διαλυόμενα. Ἐπεὶ δ᾽ οὐδ᾽ οὐδὲν τῶν ἐνταῦθα πραγμάτων νοῆσαι ἔχομεν ἄνευ φαντασίας. αὕτη γὰρ οὐκ ἀπαθής ἐστι, (διαλύσει δὲ ὑπόκειται καὶ φθορᾷ ὡς εἴρηται.) διὰ τοῦτο τῆς φαντασίας φθειρομένης, πάσχομεν τὴν λήθην τῶν ἐγνωσμένων. Ἐπειδὴ δὲ τὴν νόησιν τῇ φαντασίᾳ ἔχομεν συμπεπλεγμένην, τὰ νοήματα, παθήματα τῆς ψυχῆς λέγονται. οὐχ ὅτι ἡ λογικὴ ψυχὴ πάσχει, καὶ διὰ τοῦτο τὰ ἐξ ἐκείνης ἐρχόμενα παθήματα ἤκουσεν, ἀλλ᾽ ὅτι χωρὶς τοῦ παθητικοῦ νοῦ, τῆς φαντασίας δηλαδὴ, οὐδὲν πέφυκε τῶν ἐν τῷ κόσμῳ νοεῖν.

Διάνοια δέ ἐστι, γνωστικὴ τῶν καθόλου μετὰ λόγου δύναμις, οὐκ ἀθρόως τὸ γνωστὸν καταλαμβάνουσα, καὶ ὁμοῦ, ἀλλὰ διά τινος μεταβατικῆς μεθόδου. αὕτη δὲ ἡ Διάνοια λέγεται καὶ δυνάμει νοῦς, διὰ τὸ συνεπαίρεσθαι καὶ συναναγέσθαι τῇ ἐνεργείᾳ νῷ. πρὸς ἅπερ γὰρ ὁ ἐνεργείᾳ νοῦς ἀμέσως καὶ δι᾽ ἁπλῶν ἐπιβολῶν νοεῖ, πρὸς ταῦτα ἡ διάνοια, ἤτοι δυνάμει νοῦς διὰ συλλογισμῶν ἀνάγεται. Ἡ διάνοια τοίνυν, τουτέστιν ὁ δυνάμει λεγόμενος νοῦς, ἀεὶ πρὸς τὸ δέον συνεργεῖ, καὶ ταῖς ὀρεκτικαῖς δυνάμεσι τῆς ψυχῆς βοηθεῖ, καὶ ἀλόγους οὔσας αὐτὰς πρὸς τὸ λελογισμένον ποδηγετεῖ. συνεπαιρομένη δὲ τῇ ἐνεργείᾳ νῷ, καὶ ἀναγομένη πρὸς τὴν γνῶσιν τῶν ὄντων, ἐκ τοῦ ἀτελοῦς ἐπὶ τὸ τέλειον πρόεισιν, ἤγουν ἐκ τοῦ δυνάμει πρὸς τὸ ἐνεργείᾳ. διὸ καὶ ἡ ταύτης ἐνέργεια, ἤγουν ἡ νόησις, λέγεται πάθος, πρὸς ἀντιδιαστολὴν τῆς ἐνεργείας τοῦ νοῦ, αὐτοτελοῦς καλουμένου, καὶ ἐνεργείᾳ νοῦ ὄντος. ὡς τῇ οὐσίᾳ σύνδρομον τὴν ἐνέργειαν ἔχοντος, ἀμιγοῦς τε τοῦ δυνάμει, καὶ διὰ τοῦτο παντελῶς ἀπαθῆ.

Διαφέρει δὲ ἡ Διάνοια τῆς μετὰ λόγου Δόξης. ὅτι ἡ μετὰ λόγου Δόξα συμπέρασμά ἐστι τῶν προτάσεων, ὡς ἐλέγετο ἀνωτέρω. ἡ δὲ Διάνοια λαμβάνουσα τὰς προτάσεις ὁμολογουμένας κατασκευάζει τὸ ζητούμενον. λαβοῦσα γὰρ ὁμολογουμένως ὅτι ἡ ψυχὴ αὐτοκίνητος, τὸ δὲ αὐτοκίνητον ἀεικίνητον, καὶ τὸ ἀεικίνητον ἀθάνατον, κατεσκεύασεν ἐντεῦθεν, ὅτι καὶ ἡ ψυχὴ ἀθάνατος. καὶ οὕτως ἐκ τῆς τοιᾶσδε κατασκευῆς, ἡ μετὰ λόγου δόξα συμπεραίνει, ὅτι ἡ ψυχὴ ὑπάρχει ἀθάνατος. ὅπερ ἡ Διάνοια διὰ προτάσεων προκατεσκεύασεν. ὁ δὲ νοῦς ἀκραιφνὴς ὑπάρχων καὶ ἀμιγὴς παθημάτων γηΐνων, καὶ ὡς ἂν εἴπῃ τις νοῦς κεκαθαρμένος ἀσκήσει, καὶ δι᾽ ἀρετῆς ἐξωμοιωμένος Θεῷ, οὐχ οὕτως, ἀλλ᾽ ἁπλῇ προσβολῇ, τουτέστιν εὐθέως, ἀχρόνως, κρεῖττον ἢ κατὰ ἀπόδειξιν, πάντα τὰ ὑποπίπτοντα αὐτῷ γινώσκει, τὰ νοητὰ δηλαδή. οὕτω τοιγαροῦν τούτων ἐχόντων, δέον ἐστὶν εἰδέναι,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

δέται, ὅτι ἐκ μὲν τῆς αἰσθήσεως ἐγείρεται ἡ πεῖρα. καὶ γὰρ αὕτη μερικὴ ἐστὶ γνῶσις, καὶ ἄλογος. ἡ δὲ ἐμπειρία προέρχεται, ἔκτε τῆς ἀλόγου δόξης, καὶ ἐκ τῆς αἰσθήσεως, καὶ τῆς φαντασίας ὁμοῦ. καὶ ὅταν μὲν ἐκ τῆς αἰσθήσεως ἐγείρεται καὶ τῆς φαντασίας, λέγεται αὐτοψία. καὶ γὰρ αὐτόπτης γενόμενος τῶν βοηθημάτων ὁ ἐμπειρικὸς Ἰατρὸς, καὶ βασανίσας αὐτὰ διὰ τῆς αἰσθήσεως, καὶ τὰς ἐνεργείας αὐτῶν ἐν ἑαυτῷ, διὰ τῆς φαντασίας συναγαγὼν, χρᾶται κατὰ καιροὺς ἐν ἑκάστῳ πρὸς τὰς ἰάσεις. ὅταν δὲ ἐκ τῆς ἀλόγου δόξης ἡ ἐμπειρία ὁρμᾷ, τότε λέγεται ἱστορία. ὡς ὅταν τὶς δοξάζει τὰς φύσεις τῶν βοηθημάτων τούτων τοιαύτας εἶναι, μὴ δοκιμάσας αὐτὰς, ἀλλ᾽ ἀπ᾽ ἄλλων ἀκηκοὼς, καὶ οὕτω δοξάζων.

Ἡ δὲ Τέχνη ἐγείρεται ἐκ τῆς δόξης τῆς μετὰ λόγου καὶ τῆς διανοίας. καὶ γὰρ καὶ αὕτη ὁμοίως ταύταις τὰ καθόλου μετὰ λόγου γινώσκει.

Ἡ δὲ Ἐπιστήμη γεννᾶται ἔκτε τῆς διανοίας καὶ τοῦ νοῦ. καὶ τὰς μὲν δεομένας ἀποδείξεων ἀρχὰς ἐκ τῆς διανοίας λαμβάνει. οἷον, ὅτι τὸ ἀσώματον ἀδιαίρετον, καὶ ἡ γραμμὴ ἐπ᾽ ἄπειρον διαιρετὴ, καὶ τὰ τοιαῦτα. τὰς δὲ ὁμολογουμένας ἀρχὰς καὶ ἀνενδεεῖς ἀποδείξεων, λαμβάνει ἐκ τοῦ νοῦ. οἷον, ὅτι ὁ Θεὸς ἀγαθὸς. ὅτι πάντα ποιήματα τοῦ Θεοῦ, καὶ τὰ τοιαῦτα. διαφέρει τοίνυν ἡ Τέχνη τῆς Ἐπιστήμης, οὐ μόνον ὅτι ἡ μὲν περὶ τὰ μεταβαλλόμενα, ἡ δὲ περὶ τὰ ἀεὶ ὡσαύτως ἔχοντα καταγίνεται, ἀλλὰ καὶ ὅτι ἡ μὲν Τέχνη ἔκτε τῆς μετὰ λόγου δόξης, καὶ τῆς διανοίας προέρχεται. ἡ δὲ Ἐπιστήμη ἐκ τοῦ νοῦ καὶ τῆς διανοίας, ἀρχῶν μόνον δεομένη. καὶ εἰ μὲν ὁμολογουμένας, ταύτας παρὰ τοῦ ἐνεργείᾳ λαμβάνει νοὸς, εἰ δὲ ἀποδείξεων δεομένας ταύτας, μετὰ τὴν μετὰ λόγου δόξαν, ἤτοι μετὰ τὸ συμπέρασμα, παρὰ τοῦ δυνάμει, ἤτοι τῆς διανοίας λαμβάνει, τῆς μετὰ λόγου μὴ δεομένη δόξης.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006
Η΄